Ακαδημία Αθηνών / Academy of Athens

**πλῆθος 1.** Πλῆθος/πολλότης, great number/multitude, Ἀναξαγόρας 1.1-6 *ὁμοῦ πάντα χρήματα ἦν, ἄπειρα καὶ π λ ῆ θ ο ς καὶ σμικρότητα ... πάντα γὰρ ἀήρ τε καὶ αἰθὴρ κατεῖχεν, ἀμφότερα ἄπειρα ἐόντα· ταῦτα γὰρ μέγιστα ἔνεστιν ἐν τοῖς σύμπασι καὶ π λ ή θ ε ι καὶ μεγέθει* 4.18 *καὶ γῆς πολλῆς ἐνεούσης καὶ σπερμάτων ἀπείρων π λ ῆ θ ο ς οὐδὲν ἐοικότων ἀλλήλοις* 6.2-7 *καὶ ὅτε δὲ ἴσαι μοῖραί εἰσι τοῦ τε μεγάλου καὶ τοῦ σμικροῦ π λ ῆ θ ο ς, καὶ οὕτως ἂν εἴη ἐν παντὶ πάντα ... ἐν πᾶσι δὲ πολλὰ ἔνεστι καὶ τῶν ἀποκρινομένων ἴσα π λ ῆ θ ο ς ἐν τοῖς μείζοσί τε καὶ ἐλάσσοσι* 7 *ὥστε τῶν ἀποκρινομένων μὴ εἰδέναι τὸ π λ ῆ θ ο ς μήτε λόγῳ μήτε ἔργῳ.* || Διογένης 5.22 *ἅτε οὖν πολυτρόπου ἐούσης τῆς ἑτεροιώσιος πολύτροπα καὶ τὰ ζῷα καὶ πολλὰ καὶ οὔτε ἰδέαν ἀλλήλοις ἐοικότα οὔτε δίαιταν οὔτε νόησιν ὑπὸ τοῦ π λ ή θ ε ο ς τῶν ἑτεροιώσεων* **2.** Πλῆθος/μέγεθος mass/magnitude, Ἀναξαγόρας 2 *καὶ γὰρ ἀήρ τε καὶ αἰθὴρ ἀποκρίνεται ἀπὸ τοῦ πολλοῦ τοῦ περιέχοντος, καὶ τό γε περιέχον ἄπειρόν ἐστι τὸ π λ ῆ θ ο ς* 3.4 *καὶ ἴσον ἐστὶ τῷ σμικρῷ π λ ῆ θ ο ς, πρὸς ἑαυτὸ δὲ ἕκαστόν ἐστι καὶ μέγα καὶ σμικρόν.* Πρβλ. *πολύς.*

**πλημμέλεια.** Πλημμέλεια/ἀπρέπεια, fault, Δημόκριτος 46 *μεγαλοψυχίη τὸ φέρειν πραέως π λ η μ μ έ λ ε ι α ν.*

**πλημμελής.** Πλημμελής/ἄπρεπος, wrong/improper, Δημόκριτος 181.6 *λάθρη μὲν γὰρ ἁμαρτέειν εἰκὸς τὸν εἰργμένον ἀδικίης ὑπὸ νόμου, τὸν δὲ ἐς τὸ δέον ἠγμένον πειθοῖ οὐκ εἰκὸς οὔτε λάθρη οὔτε φανερῶς ἔρδειν τι π λ η μ μ ε λ έ ς.*

**πλούσιος** (ἀντίθ. *πένης*). Πλούσιος, rich, Δημόκριτος 283 *οὔτε οὖν π λ ο ύ σ ι ο ς ⟨ὁ⟩ ἐνδέων οὔτε πένης ὁ μὴ ἐνδέων* Ἀρχύτας 3.11 *οἱ πένητες λαμβάνοντι παρὰ τῶν δυναμένων, οἵ τε π λ ο ύ σ ι ο ι διδόντι τοῖς δεομένοις.* Πρβλ. *οἱ δυνάμενοι.*

**πλοῦτος** (ἀντίθ. *πενίη*). Πλοῦτος, wealth, Ἡράκλειτος 125a *μὴ ἐπιλίποι ὑμᾶς π λ ο ῦ τ ο ς ... Ἐφέσιοι, ἵν' ἐξελέγχοισθε πονηρευόμενοι* Δημόκριτος 77 *δόξα καὶ π λ ο ῦ τ ο ς ἄνευ ξυνέσιος οὐκ ἀσφαλέα κτήματα* 185 *κρέσσονές εἰσιν αἱ τῶν πεπαιδευμένων ἐλπίδες ἢ ὁ τῶν ἀμαθῶν π λ ο ῦ τ ο ς* 218 *π λ ο ῦ τ ο ς ἀπὸ κακῆς*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ